δάπτω τὰν ἁπαλὰν
Νειλοθερῆ παρειὰν
ἀπειρόδακρύν τε καρδίαν.
γοεδνὰ δ' ἀνθεμίζομαι
δειμαίνουσα φίλους, τᾶσδε φυγᾶς
ἀερίας ἀπὸ γᾶς
εἴ τις ἐστὶ κηδεμών.

ἀλλά, θεοὶ γενέται, [ἀντ. γ.
κλύετ' εὖ τὸ δίκαιον ἰδόντες·
ἥβᾳ μὴ τέλεον
δόντες ἔχειν παρ' αἶσαν,
ὕβριν δ' ἑτοίμως στυγοῦντες, ⟨εὖ⟩
πέλοιτ' ἂν ἔνδικοι γάμοις.
ἔστι δὲ κἀκ πολέμου τειρομένοις
βωμὸς ἀρῆς φυγάσιν
ῥῦμα, δαιμόνων σέβας.

εὖ δ' εἴη Διόθεν παναληθῶς. [στρ. δ.
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη.
παντᾷ τοι φλεγέθει
κἀν σκότῳ μελαίνᾳ ξὺν τύχᾳ
μερόπεσσι λαοῖς.

πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ, [ἀντ. δ.
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων
δάσκιοί τε τείνουσιν πόροι
κατιδεῖν ἄφραστοι.

71 Νειλοθερῆ] εἰλοθερῆ Emper 74 φίλους] φόλους ante correctionem M : ποιμαίνουσα φόβους Tucker 77 θεοὶ Porson : θεοὶ οἱ codd. 79 ἥβᾳ M : ἢ καὶ G 81 ἑτοίμως] ἑτύμως G στυγοῦντες Turnebus : στυγόντες M E εὖ add. Heath 83 ἔστιν κἀκ metri grat. Enger 84 ἄρησ M 86 εὖ δ' εἴη Bamberger, Διόθεν Weil : εἰ θείη διὸς εὖ codd. (εἴθ' εἴη P) 89 μελαίνᾳ ξὺν τύχᾳ Porson : μέλαιναι ξυντύχαι M G 95 κατιδεῖν Robortello : κατειδεῖν M G